μικρὸν εἰς τὴν αὔξησιν προκόπτουσιν. Ὅθεν ἐν τοῖς ζῶσι, τινὰ ἔχουσιν ἓν τῶν προειρημένων, δηλονότι τὰ φυτά, ἐν οἷς ἐστὶ μόνον τὸ φυτικόν, ὅπερ ἀνάγκη ἐν τοῖς ζῶσιν ἅπασιν εἶναι τοῖς ὑλικοῖς, διότι ταύτῃ τῇ δυνάμει ἀποδίδονται αἱ ἐνέργειαι αἱ ἀνήκουσαι πρὸς τὸ ὑλικὸν εἶναι. Ἄλλοις δέ, τουτέστι τοῖς ζῴοις, ἐνυπάρχει τὸ φυτικὸν καὶ αἰσθητικόν. Εἰ δὲ ἔστιν ἐν αὐτοῖς τὸ αἰσθητικόν, δεῖ προσεῖναι καὶ τρίτον, δηλονότι τὸ ὀρεκτικόν, ὅπερ διαιρεῖται εἰς τρία· εἰς τὴν ἐπιθυμίαν δηλονότι, ἥτις ἐστὶ κατὰ τὴν ἐπιθυμητικὴν δύναμιν, καὶ τὴν ὀργήν, ἥτις ἐστὶ κατὰ τὴν θυμικὴν δύναμιν, αἳ δὴ δύο ὀρέξεις ἀνήκουσι τῷ αἰσθητικῷ μέρει· ἕπονται γὰρ τῇ ἀντιλήψει τῆς αἰσθήσεως· καὶ τρίτην, τὴν θέλησιν, ἥτις ἐστὶν ὄρεξις νοερά, ἑπομένη δηλονότι τῇ ἀντιλήψει τοῦ νοῦ. Ὅτι δὲ τὸ ὀρεκτικὸν ἐνυπάρχει πᾶσι τοῖς ζῴοις, δυσὶ δείκνυσι λόγοις, ὧν ὁ πρῶτος ἐστίν, ὅτι πάντα τὰ ζῷα ἔχουσι τὸ ἐλάχιστον μίαν αἴσθησιν, δηλονότι τὴν ἁφήν· οἷς δὲ ἐνυπάρχει αἴσθησις, ἔνεστι καὶ ἡδονὴ καὶ λύπη, τουτέστιν εὐφροσύνη καὶ ὀδύνη. Ἡ γὰρ ἡδονὴ καὶ λύπη μᾶλλον δοκοῦσιν ἀκολουθεῖν τῇ ἐνδοτέρᾳ ἀντιλήψει. Ἀλλ' ἡ εὐφροσύνη καὶ ἡ ὀδύνη ἀκολουθοῦσι τῇ ἀντιλήψει τῆς αἰσθήσεως, καὶ μάλιστα τῆς ἁφῆς. Καὶ εἰ ἔστιν ἡδονὴ καὶ λύπη, ἀνάγκη εἶναι ἐν τούτοις καί τι ἡδὺ καὶ λυπηρόν, τουτέστιν εὐφραντὸν καὶ ἐπώδυνον· δεῖ γὰρ πᾶν τὸ κατὰ τὴν ἁφὴν αἰσθητὸν ἢ οἰκεῖον εἶναι, καὶ οὕτως ἐστὶν ἡδὺ καὶ εὐφρόσυνον, ἢ ἀλλότριον καὶ βλαπτικόν, καὶ οὕτως ἐστὶν ὀδυνηρόν. Οἷς δ' ἂν ἐνυπάρχοι τὸ ἡδὺ καὶ λυπηρόν, τούτοις ἐνυπάρχει καὶ ἡ ἐπιθυμία, ἥτις ἐστὶν ὄρεξις τοῦ ἡδέος. Ἀπὸ τοῦ πρώτου τοίνυν πρὸς τὸ ἔσχατον, πᾶσι τοῖς ζῴοις, οἷς ὑπάρχει ἡ τῆς ἁφῆς αἴσθησις, καὶ ὄρεξις τούτοις ἐνυπάρχει.

Ἔτι δὲ τῆς τροφῆς. Ἐνταῦθα ἐπάγει δεύτερον λόγον πρὸς τὸ αὐτό, τοιοῦτον ὄντα. Πάντα τὰ ζῷα ἔχουσιν αἴσθησιν, ᾗ γινώσκουσι τὴν ἰδίαν τροφήν, τὴν τῆς ἁφῆς αἴσθησιν δηλονότι, ἥτις ἐστὶν αἴσθησις τροφῆς· καὶ διότι ἀναγκαῖόν ἐστι πᾶσι τοῖς ζῴοις χρῆσθαι τροφῇ, ὡς εἴρηται, διὰ τοῦτο ἀνάγκη τὴν τῆς ἁφῆς αἴσθησιν ἔχειν, δι' ἧς μετέχουσι τῆς ἁρμοζούσης αὐτοῖς τροφῆς. Καὶ ὅτι ἡ ἁφὴ ἐστὶν αἴσθησις τροφῆς, φανερόν ἐστίν. Ὥσπερ γὰρ τὰ ζῶντα σώματα συνέστηκεν ἐκ τῶν θερμῶν καὶ ψυχρῶν καὶ ὑγρῶν καὶ ξηρῶν, οὕτω καὶ ἐξ αὐτῶν τρέφονται· ἡ δὲ ἁφὴ ἐστὶν αἴσθησις διακριτικὴ τούτων· τῶν δὲ ἄλλων αἰσθητῶν, τουτέστι τοῖς ἄλλοις αἰσθητοῖς, οὐ τρέφονται τὰ ζῶντα εἰ μὴ κατὰ συμβεβηκός, ἐφόσον δηλονότι συνημμένα εἰσὶ τοῖς ἁπτοῖς. Ὁ γὰρ ψόφος καὶ ἡ ὀσμὴ καὶ τὸ χρῶμα οὐδὲν συντελοῦσιν εἰς τὴν τροφὴν καθὸ τοιαῦτα, ἀλλὰ μόνον καθόσον συμβαίνει τὰ κεχρωσμένα καὶ εὔοσμα καὶ ψοφοῦντα εἶναι θερμά, ἢ ψυχρά, ἢ ὑγρά, ἢ ξηρά. Ὁ δὲ χυμὸς ἔστι τι ἐκ τοῦ ἀριθμοῦ τῶν ἁπτῶν

---

14 *ὑπάρχει* B 18 *καί τι* om B 38 *ἢ* avant *ψυχρά*: *καὶ* B *ἢ* après *ψυχρά* om B

ποιοτήτων, ὥσπερ καὶ ἡ γεῦσις ἁφή τίς ἐστιν. Οὕτω γὰρ φαίνεται, ὅτι πάντα τὰ ζῷα ἔχουσιν αἴσθησιν τροφῆς. Οἷς δ' ἂν ἐνυπάρχοι αἴσθησις τροφῆς, τούτοις ἔνεστι καὶ πεῖνα καὶ δίψα, ὧν ἑκάτερον ἐστὶν ἐπιθυμία τροφῆς· ἡ μὲν πεῖνα ἐπιθυμία θερμοῦ καὶ ξηροῦ, διότι ἔχει λόγον τροφῆς· ἡ δὲ δίψα ψυχροῦ καὶ ὑγροῦ, διότι ἔχει λόγον πόσεως. Ὁ δὲ χυμὸς ἐστὶν οἷον ἥδυσμά τι τούτων. Ὁ γὰρ ἡδύνων χυμὸς δηλοῖ προσήκουσαν ἀναλογίαν τοῦ θερμοῦ καὶ ψυχροῦ καὶ ὑγροῦ καὶ ξηροῦ ἐν τῇ τροφῇ· ὅθεν μᾶλλον ἀνήκει πρὸς τὴν ἡδύτητα τῆς τροφῆς ἢ πρὸς τὴν χρείαν. Οὕτω τοίνυν ὅπου ἔστιν αἴσθησις | ἁφῆς, ἔστιν ὄρεξις. Πῶς δὲ ἡ φαντασία f. 297
ἔχει πρὸς τὸ αἰσθητικὸν καὶ ὀρεκτικόν, ὕστερον ῥηθήσεται. Τισὶ δὲ ζῴοις, ὑπὲρ ταῦτα τὰ τρία, δηλονότι τὸ φυτικόν, τὸ αἰσθητικὸν καὶ ὀρεκτικόν, ἔνεστι καὶ τὸ κατὰ τόπον κινητικόν· ἄλλοις δὲ πρὸς τούτοις τοῖς τέσσαρσιν ἐνυπάρχει τὸ νοερὸν καὶ νοῦς αὐτός, δηλονότι τοῖς ἀνθρώποις καὶ εἴ τι ἄλλο γένος πραγμάτων ὅμοιον τοῖς ἀνθρώποις, ἢ καὶ τιμιώτερον τῶν ἀνθρώπων. Εὑρίσκεται δέ τι τιμιώτερον τῶν ἀνθρώπων, ᾧ ἔνεστι νοῦς· ἔστι γὰρ ἐν ταῖς χωρισταῖς οὐσίαις καὶ ἐν τοῖς σώμασι τοῖς οὐρανίοις, εἰ μόνον ἔμψυχα εἰσίν. Ἀλλ' ἐν τοῖς ζῷσι θνητοῖς οὐκ ἔστι γένος τι νοῦν ἔχον εἰ μὴ ἡ ἀνθρωπίνη ψυχή. Ἐπεὶ γὰρ ὁ νοῦς οὐκ ἔχει ὄργανον σωματικόν, οὐ δύνανται ποικίλλεσθαι τὰ νοῦν ἔχοντα κατὰ τὴν διάφορον συμπλοκὴν τῶν ὀργάνων, ὥσπερ ποικίλλονται τὰ εἴδη τῶν αἰσθητικῶν κατὰ τὰς διαφόρους συμπλοκάς, αἷς διαφόρως ἔχουσι πρὸς τὰς τῆς αἰσθήσεως ἐνεργείας.

Δῆλον οὖν ὅτι. Ἐνταῦθα δείκνυσι πῶς ἔχει ὁ προειρημένος ὁρισμὸς τῆς ψυχῆς πρὸς τὰ ἀπηριθμημένα μέρη. Καὶ πρὸς τὴν τούτου κατανόησιν, εἰδέναι χρὴ ὅτι ὁ Πλάτων ἔθετο τὰ καθόλου χωριστὰ εἶναι κατὰ τὸ εἶναι αὐτῶν· ἐν ἐκείνοις μέντοι, ἅτινα ἔχουσιν ἐφεξῆς, οὐκ ἔθετο μίαν ἰδέαν κοινήν, ὥσπερ ἐν τοῖς ἀριθμοῖς καὶ τοῖς σχήμασιν· οὐ γὰρ ἔθετο μίαν ἰδέαν τοῦ ἀριθμοῦ παρὰ πάντας τοὺς ἀριθμούς, ὥσπερ ἐτίθει μίαν ἰδέαν ἀνθρώπου παρὰ πάντας ἀνθρώπους, διότι τὰ εἴδη τῶν ἀριθμῶν φυσικῇ τινι τάξει ἐφεξῆς εἰσι, καὶ οὕτω τὸ πρῶτον αὐτῶν ἤγουν ἡ δυάς, αἰτία ἐστὶ πάντων τῶν ἐφεξῆς· ὅθεν οὐ δεῖ τιθέναι τινὰ ἰδέαν ἀριθμοῦ κοινὴν πρὸς τὸ παράγειν τὰ εἴδη τῶν ἀριθμῶν. Ὁ δ' αὐτὸς λόγος καὶ περὶ τῶν σχημάτων· καὶ τούτων γὰρ τὰ εἴδη ἐφεξῆς εἰσίν, ὥσπερ καὶ τὰ εἴδη τῶν ἀριθμῶν· τὸ γὰρ τρίγωνον πρὸ τοῦ τετραγώνου ἐστί, καὶ τὸ τετράγωνον, τοῦ πενταγώνου. Φησί τοίνυν φανερὸν εἶναι, ὅτι τῷ αὐτῷ τρόπῳ εἷς ἐστιν ὁ λόγος τῆς ψυχῆς, ὥσπερ καὶ εἷς ἐστὶν ὁ λόγος τοῦ σχήματος. Ὡς γὰρ ἐν τοῖς σχήμασιν οὐκ ἔστι σχῆμά τι, ὅπερ τυγχάνει

---

8 *ἡδύτητα: αἴσθησιν* B 14 *τοῖς* om B 18 *ἐχόντων* B 28 *τοὺς* om B 37 *ὡς: εἰ* B



Ερ.Δ τιμ.Κ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

παρὰ τὸ τρίγωνον καὶ τὰ λοιπὰ ἐφεξῆς εἴδη, ὡς εἶναι αὐτὸ κοινὴν ἰδέαν τῶν σχημάτων ἁπάντων, οὕτως οὐδὲ ἐν τῷ προκειμένῳ ἔστι τις ψυχὴ ὥσπερ χωριστὴ οὖσα παρὰ πάντα τὰ προειρημένα μέρη. Ἀλλ᾽ εἰ καὶ μὴ ἔστιν ἓν σχῆμα χωριστὸν ἐν τῷ εἶναι παρὰ τὰ σχήματα πάντα καὶ κατὰ τοὺς Πλατωνικούς, οἵτινες τιθέασι τὰ εἴδη πάντα χωριστά, εὑρίσκεται μέντοι εἷς λόγος κοινὸς ἁρμόζων πᾶσι τοῖς σχήμασι, καὶ οὐκ ἔστιν ἴδιος τινὸς αὐτῶν, οὕτω τοίνυν κἂν ταῖς ψυχαῖς. Καὶ διὰ τοῦτο γελοῖόν ἐστι τὸ ζητεῖν τινὰ ἕνα λόγον κοινὸν οὕτως ἐπὶ τῶν ψυχῶν ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων πραγμάτων, ὅστις οὐχ ἁρμόσει τινὶ τῶν ψυχῶν, τῶν ἐν τῇ φύσει τῶν πραγμάτων οὐσῶν μερικῶς. Ἀλλ᾽ οὐδὲ προσῆκόν ἐστι μὴ ζητεῖν τινὰ ὁρισμὸν τῆς ψυχῆς κοινὸν πάσαις ταῖς ψυχαῖς. Οὔτε τοίνυν τὸν ὁρισμὸν τῆς ψυχῆς τὸν κοινὸν ἐχρῆν παραιτήσασθαι, οὔθ᾽ οὕτως ἀποδοῦναι κοινὸν ὁρισμὸν τῆς ψυχῆς ὥστε μὴ ἁρμόζειν αὐτὸν ἑκάσταις ψυχαῖς. Καὶ διότι εἶπεν ὅτι τῷ αὐτῷ τρόπῳ ἔχει ὁ τῆς ψυχῆς λόγος ὥσπερ ὁ λόγος τοῦ σχήματος, δείκνυσι τὴν κοινωνίαν τούτων κατὰ τοῦτο, καὶ φησὶν ὅτι ὁμοίως ἔχουσι τὰ σχήματα καὶ αἱ ψυχαὶ πρὸς ἄλληλα. Ἐν ἑκατέροις γὰρ τὸ πρότερον ἐστὶ δυνάμει ἐν τῷ ἐφεξῆς. Φανερὸν οὖν ἐν τοῖς σχήμασιν, ὅτι τὸ τρίγωνον, πρότερον ὂν τοῦ τετραγώνου, ἔστι δυνάμει ἐν τῷ τετραγώνῳ· δύναται γὰρ τὸ τετράγωνον διαιρεῖσθαι εἰς δύο τρίγωνα. Ὁμοίως κἂν τῇ αἰσθητικῇ ψυχῇ τὸ φυτικὸν ἐστὶν ὡσανεί τις αὐτῆς δύναμις, εἰ καὶ ψυχὴ ἐστὶ καθαυτό. Ὁμοίως γοῦν ἔχει καὶ ἐπὶ τῶν ἄλλων σχημάτων καὶ τῶν ἄλλων μερῶν τῆς ψυχῆς.

## Leçon VI.

Ὥστε καθέκαστον. Ἀπαριθμησάμενος ὁ Φιλόσοφος τὰ γένη τῶν δυνάμεων τῆς ψυχῆς, καὶ πῶς ἔχει ὁ προτεθειμένος κοινὸς τῆς ψυχῆς ὁρισμὸς πρὸς τὰ μέρη αὐτῆς ἀποδείξας, ἐνταῦθα φησὶ τί ἀπὸ τοῦ νῦν διοριστέον ἂν εἴη, καὶ τίνι τάξει, καὶ διαιρεῖται εἰς δύο μέρη. Ἐν τῷ πρώτῳ δείκνυσι τί λείπεται διορίσασθαι περὶ ψυχῆς· δεύτερον, δείκνυσι τίνι τάξει διορίσασθαι δεῖ, ἐν τῷ· Ἀναγκαῖον δέ.

Περὶ τὸ πρῶτον δύο φησὶ λείπεσθαι διοριστέα, ὧν τὸ πρῶτον συμπεραίνει ἐκ τῶν προειρημένων. Εἴρηται γὰρ ἀνωτέρω, ὅτι ὥσπερ οὐ δεῖ ζητεῖν τοιοῦτον ὁρισμὸν κοινὸν τῆς ψυχῆς, ὅστις οὐδενὶ τῶν μερῶν ἁρμόζει, οὕτως οὐκ ὀφείλομεν ἀρκεῖσθαι τῷ κοινῷ ὁρισμῷ, ἀλλ᾽ ἴδιον ὁρισμὸν ἑκάστου μέρους τῆς ψυχῆς ἐπιζητεῖν χρή. Καὶ τοῦτο συμπεραίνει ἐνταῦθα, ὅτι καθ᾽ ἕκαστον ἔμψυχον ζητητέον τίς ἐστιν ἑκάστου ψυχή, ὥστε δηλονότι
f. 297v γινώσκεσθαι τίς τέ ἐστι ψυχὴ φυτοῦ, | καὶ τί ἐστιν ἡ ψυχὴ τοῦ ἀνθρώπου,

22 *ἐπὶ τῶν ἄλλων μερῶν* B

Ε.Υ.Δ της Κ.Τ. ΙΩΑΝΝΙΝΑ 2006

καὶ τί ἡ ψυχὴ τοῦ θηρίου· καὶ τοῦτο ἐστὶ τὸ γινώσκειν περὶ πάντων τῶν μερῶν αὐτῆς, τί ἐστιν ἕκαστον.

Διὰ τίνα δὲ αἰτίαν. Ἐνταῦθα, δεύτερον, τίθησι τί ὃ λείπεται διορίσασθαι. Εἴρηται γὰρ ἀνωτέρω, ὅτι τὰ τῆς ψυχῆς μέρη ἐφεξῆς εἰσὶν ἀλλήλοις, ὥσπερ τὰ εἴδη τῶν σχημάτων. Ἀλλὰ θεωρητέον ἐστὶ διὰ τίνα αἰτίαν οὕτως ἔχουσι τὰ μέρη τῆς ψυχῆς ἐφεξῆς· τούτου γὰρ τὴν αἰτίαν ἐν τῷ τέλει τοῦ βιβλίου ἀποδώσει· ἐξηγεῖται δὲ πῶς ἔχουσιν ἐφεξῆς, διότι τὸ αἰσθητικὸν οὐ δύναται εἶναι χωρὶς τοῦ θρεπτικοῦ. Ἀλλὰ τὸ φυτικὸν χωρίζεται τοῦ αἰσθητικοῦ, ὡς ἐν τοῖς φυτοῖς· οὐδὲ δεῖ θαυμάζειν, διότι προείρηται, ὅτι τὰ ἔργα τοῦ φυτικοῦ τάττονται πρὸς τὸ ὑποδέχεσθαι καὶ συντηρεῖν τὸ φυσικὸν εἶναι, ὅπερ ὑπόκειται ὥσπερ θεμέλιος. Καὶ πάλιν ἀκολουθία τις εὑρίσκεται ἐν αὐταῖς ταῖς αἰσθήσεσιν, διότι χωρὶς τῆς αἰσθήσεως τῆς ἀφῆς οὐδεμία ἄλλη τῶν αἰσθήσεων εἶναι δύναται· ἡ δὲ ἀφὴ εὑρίσκεται χωρὶς τῶν ἄλλων αἰσθήσεων· πολλὰ γὰρ ζῷα οὔτε ὄψιν ἔχει, οὔτε ἀκοήν, οὔτε ὄσφρησιν, ἀλλὰ μόνον ἀφήν. Καὶ τοῦτο εὐλόγως συμβαίνει· ἡ γὰρ ἀφὴ ἐστὶν αἴσθησις καταληπτικὴ τῶν ἀνηκόντων πρὸς τὴν σύστασιν τοῦ ζῴου, ἐξ ὧν δηλονότι τὸ ζῷον συνίσταταί τε καὶ τρέφεται· τὰ δὲ ἄλλα αἰσθητὰ οὐ συντελοῦσι πρὸς τοῦτο εἰ μὴ κατὰ συμβεβηκός· ὅθεν αἱ ἄλλαι αἰσθήσεις οὐκ εἰσὶν ἀναγκαῖαι τῷ ζῴῳ, καὶ διὰ τοῦτο οὐχ εὑρίσκονται ἐν πᾶσι τοῖς ζῴοις, ἀλλ' ἐν τοῖς τελείοις. Δεῖ δὲ καὶ τὴν ἀκολουθίαν θεωρεῖν τοῦ αἰσθητικοῦ καὶ κινητικοῦ· τὸ μὲν γὰρ κινητικὸν οὐκ ἔστιν ἄνευ τοῦ αἰσθητικοῦ, τὸ δὲ αἰσθητικὸν δύναται εἶναι χωρὶς τοῦ κινητικοῦ. Τινὰ γὰρ ἔχοντα αἴσθησιν, ἔχουσι καὶ κίνησιν κατὰ τόπον· ἄλλα δὲ οὐκ ἔχουσιν. Ἀλλὰ δεῖ νοεῖν τοῦτο περὶ τῆς κινήσεως τῆς προχωρητικῆς τῶν ζῴων, καθὸ τὰ ζῷα κινοῦνται ἐκ τόπου εἰς τόπον· αὕτη γὰρ ἡ κίνησις οὐκ ἔνεστι πᾶσι τοῖς ζῴοις, ἀλλὰ τὰ στερούμενα ταυτησὶ τῆς κινήσεως ἔχουσι τινὰ κίνησιν τοπικήν, δηλονότι τὴν τῆς συστολῆς καὶ διαστολῆς, ὡς φαίνεται ἐπὶ τῶν ὀστρέων. Τὸ δὲ ἔσχατον ἐν πᾶσι τοῖς μέρεσι τῆς ψυχῆς, ὃ καὶ ἐλάχιστον ἐστίν, διότι οὐ διαιρεῖται εἰς διάφορα κατ' εἶδος, ἔστι τὸ ἔχον λόγον καὶ νοῦν, διότι ὅσοις ἂν ἐκ τοῦ ἀριθμοῦ τῶν φθαρτῶν ἔνεστι λόγος, ἔνεισι καὶ τὰ ἄλλα πάντα τὰ προειρημένα. Τοῦτο δέ φησιν ἵνα προφυλάξηται ἑαυτὸν ἀπὸ τῶν χωριστῶν οὐσιῶν καὶ ἀπὸ τῶν οὐρανίων σωμάτων, εἰ μόνον εἰσὶν ἔμψυχα, διότι ἄνευ γενέσεως τυγχάνοντα καὶ φθορᾶς οὐ χρῄζουσι τοῦ φυτικοῦ. Πάλιν ὁ νοῦς ἐκείνων καθ' ἑαυτὸν θεωρεῖ τὰ καθ' αὑτὰ νοητά· ὅθεν οὐ δεῖται τῶν αἰσθήσεων πρὸς τὸ τυγχάνειν τῆς νοερᾶς γνώσεως. Ἀλλ' ἐν τοῖς θνητοῖς τοῖς ἔχουσι νοῦν ἀνάγκη ἐστὶ πάντα τὰ ἄλλα προϋφεστάναι ὥσπερ ὄργανά τινα καὶ προπαρασκευαστικὰ πρὸς τὸν

---

2 *αὐτῆς*: *τῆς ψυχῆς* B *αὐτῶν* après *ἕκαστον* add B 8 *εἶναι* om B

Ε.Β.Δ της Ε.Π. ΙΩΑΝΝΙΝΑ 2006

νοῦν, ὅς ἐστιν ἐσχάτη τελειότης ἐν τῇ ἐνεργείᾳ τῆς φύσεως. Οὐχὶ δὲ καὶ πᾶσιν, οἷς ἔνεστί τι τῶν προειρημένων, ἔνεστι καὶ λόγος. Καὶ διότι ἡ φαντασία δοκεῖ ἔχειν τινὰ συγγένειαν πρὸς τὸν νοῦν, ἐπεὶ προείρηται ὅτι ὁ νοῦς ἢ φαντασία τίς ἐστιν, ἢ οὐκ ἄνευ φαντασίας, προστίθησι περὶ τῆς φαντασίας, καὶ φησὶν ὅτι τισὶ τῶν ζῴων οὐ μόνον οὐκ ἔστι νοῦς, ἀλλ' οὐδὲ φαντασία. Δοκεῖ δὲ τοῦτο εἶναι ἐναντίον τῶν ἀνωτέρω εἰρημένων, ὅτι εἰ τὸ ἀποτμηθὲν μέρος ἔχει αἴσθησιν, καὶ ὄρεξιν ἔχει δήπου καὶ φαντασίαν. Ῥητέον οὖν, ὅτι τὰ ζῷα τὰ ἀτελῆ, ὡς ἐν τῷ τρίτῳ ῥηθήσεται, ἔχουσι τινὰ φαντασίαν, ἀλλ' ἀδιορίστως, διότι ἡ κίνησις τῆς φαντασίας οὐχ ὑπολείπεται ἐν αὐτοῖς μετὰ τὴν ἀντίληψιν τῆς αἰσθήσεως ἢ τὴν ἀπουσίαν· ἐν δὲ τοῖς τελείοις ζῴοις ὑπομένει ἡ κίνησις τῆς φαντασίας, καὶ ἀφισταμένων τῶν αἰσθητῶν· καὶ κατὰ τοῦτο λέγεται ἐνταῦθα, ὅτι ἡ φαντασία οὐ πάρεστι πᾶσι τοῖς ζῴοις, ἀλλ' εἰσὶ τινὰ ζῷα, ἅπερ ταύτῃ μόνῃ ζῶσιν, ἐστερημένα δηλονότι νοῦ καὶ ἰθυνόμενα ἐν ταῖς ἑαυτῶν ἐνεργείαις διὰ φαντασίας, ὥσπερ ἡμεῖς ἰθυνόμεθα διὰ νοῦ. Καὶ εἰ μὴ πᾶσι τοῖς ζῴοις ἔνεστιν ἡ φαντασία, ὥσπερ οὐδὲ ὁ νοῦς, ὅμως περὶ τοῦ θεωρητικοῦ νοῦ ἕτερος λόγος ἐστὶν ἢ περὶ τῆς φαντασίας· διαφέρουσι γὰρ ἀλλήλων, ὡς ὕστερον ῥηθήσεται. Φανερὸν τοίνυν, ὅτι περὶ ἑκάστου μέρους τῆς ψυχῆς δεῖ λέγειν τοῦτον τὸν ὁρισμὸν τὸν ἀποδεδομένον περὶ ψυχῆς.

Ἀναγκαῖον δὲ τόν. Ἐνταῦθα δείκνυσι τίνι τάξει διοριστέον ἂν εἴη περὶ τῶν μερῶν τῆς ψυχῆς, καὶ ἀποδίδωσι τὴν τάξιν ὅσον πρὸς δύο· πρῶτον, ὅσον πρὸς τοῦτο, ὅτι ὁ μέλλων περὶ τῶν μερῶν τῆς ψυχῆς σκέψιν
f. 298 ποιεῖσθαι καὶ ἐρευνᾶν | πρῶτον ὀφείλει λαμβάνειν ἕκαστον αὐτῶν, τί ἐστιν, καὶ μετὰ ταῦτα θεωρεῖν περὶ τῶν ἐχομένων, τουτέστι περὶ τῶν ἐφεξῆς μερῶν καὶ περὶ τῶν ἄλλων, ἃ δεῖ θεωρεῖν περὶ τὰ τῆς ψυχῆς μέρη καὶ περὶ αὐτὰ τὰ ἔμψυχα, ὥσπερ περὶ τῶν ὀργάνων καὶ τῶν ἄλλων τῶν τοιούτων. Καὶ αὕτη ἡ τάξις ἀναγκαία ἐστί, διότι ἅμα περὶ πάντων ἡ θεωρία γίνοιτο, εἴη ἂν ἡ διδασκαλία συγκεχυμένη.

Δεύτερον, ἅπτεται τοῦ δευτέρου τρόπου τῆς τάξεως ἐν τῷ· Εἰ δὲ χρὴ λέγειν· καὶ φησὶν ὅτι, εἰ δεῖ λέγειν περί τινος μέρους τῆς ψυχῆς, τί ἐστι, δηλονότι τί ἐστι τὸ νοερόν, ἢ τὸ αἰσθητικόν, ἢ τὸ φυτικόν, πρότερον δεῖ λέγειν περὶ τῶν ἐνεργειῶν, δηλονότι τί ἐστι τὸ νοεῖν, καὶ τί τὸ αἰσθάνεσθαι, διότι κατὰ τὸν ὁριστικὸν λόγον αἱ ἐνέργειαι καὶ πράξεις εἰσὶ πρότεραι τῶν δυνάμεων· ἡ γὰρ δύναμις κατὰ τὸ εἶναι αὐτῆς ἐπιφέρει σχέσιν τινὰ πρὸς ἐνέργειαν· ἔστι γὰρ ἀρχή τις τοῦ ποιεῖν, ἢ πάσχειν· ὅθεν δεῖ τὰς ἐνεργείας τίθεσθαι ἐν τοῖς ὁρισμοῖς τῶν δυνάμεων. Καὶ εἰ οὕτως ἔχουσι τάξεως αἱ ἐνέργειαι καὶ αἱ δυνάμεις τῶν ἐνεργειῶν,

30 *τάξεως* corrigé de *ὑπάρξεως* B    34 *καὶ*: *ὡς* B

Ε.Υ.Δ. ... ΙΩΑΝΝΙΝΑ 2006

ἔτι πρότερα εἰσὶ τὰ ἀντικείμενα· τὰ γὰρ εἴδη τῶν ἐνεργειῶν καὶ τῶν πράξεων λαμβάνονται κατὰ τὴν πρὸς τὰ ἀντικείμενα τάξιν· πᾶσα γὰρ ψυχῆς ἐνέργεια ἢ ἐστὶν ἐνέργεια δυνάμεως ἐνεργητικῆς, ἢ παθητικῆς. Καὶ τὰ μὲν ἀντικείμενα τῶν παθητικῶν δυνάμεων παραβάλλονται πρὸς τὰς ἐνεργείας αὐτῶν ὡς πρακτικά, διότι ἀνάγουσι τὰς δυνάμεις εἰς ἐνέργειαν, ὥσπερ τὸ ὁρατόν, τὴν ὄψιν, καὶ ἅπαν αἰσθητόν, τὴν αἴσθησιν· τὰ δὲ ἀντικείμενα τῶν ἐνεργητικῶν δυνάμεων εἰσὶ τὰ πρακτὰ αὐτῶν. Φανερὸν δὲ ὅτι ἐν οἷς τισιν ἂν παρὰ τὰς ἐνεργείας ὦσι τινὰ ἐνεργητὰ εἴτουν πρακτά, τὰ ἐνεργητὰ ταῦτα εἰσὶ τέλη τῶν ἐνεργειῶν, ὡς ἐν τῷ πρώτῳ λέγεται τῶν ἠθικῶν· ὥσπερ ἡ οἰκία ἡ οἰκοδομηθεῖσα ἐστὶ τέλος τῆς οἰκοδομήσεως. Φανερὸν τοίνυν, ὅτι πᾶν ἀντικείμενον παραβάλλεται πρὸς τὴν ἐνέργειαν τῆς ψυχῆς ἢ ὡς ἐνεργητικόν, ἢ ὡς τέλος· ἐξ ἑκατέρου δὲ εἰδοποιεῖται ἡ ἐνέργεια· φανερὸν γάρ, ὅτι τὰ διάφορα ἐνεργητικὰ κατὰ τὸ εἶδος ἔχουσιν ἐνεργείας εἴδει διαφερούσας, ὥσπερ ἡ θέρμανσις ἐστὶν ἀπὸ τῆς θέρμης, καὶ ἡ ψύξις ἐκ τοῦ ψύχους· ὁμοίως καὶ ἐκ τοῦ πέρατος καὶ τοῦ τέλους εἰδοποιεῖται ἡ ἐνέργεια, ὥσπερ ἡ ὑγείανσις καὶ ἡ νόσανσις διαφέρουσιν εἴδει κατὰ τὴν διαφορὰν τῆς ὑγείας καὶ τῆς νόσου. Οὕτω τοίνυν τὰ ἀντικείμενα εἰσὶ πρότερα τῶν ἐνεργειῶν τῆς ψυχῆς ἐν τῇ ὁριστικῇ ὁδῷ. Ὅθεν καὶ πρότερον δεῖ διορίζεσθαι περὶ τῶν ἀντικειμένων ἢ περὶ τῶν ἐνεργειῶν διὰ τὴν αὐτὴν αἰτίαν, δι' ἣν καὶ περὶ τῶν ἐνεργειῶν πρότερον δοκεῖ διοριστέον ἢ περὶ τῶν δυνάμεων. Ἀντικείμενα δὲ εἰσὶν ὥσπερ ἡ τροφὴ τοῦ φυτικοῦ, καὶ τὸ αἰσθητικὸν τῆς αἰσθήσεως, καὶ τὸ νοητὸν τοῦ νοῦ.

Ἀλλ' ἰστέον, ὅτι ἐκ τῶν διαφόρων ἀντικειμένων οὐ ποικίλλονται αἱ ἐνέργειαι καὶ αἱ δυνάμεις τῆς ψυχῆς, εἰ μὴ ὅταν γένηται διαφορὰ τῶν ἀντικειμένων, καθόσον εἰσὶν ἀντικείμενα ἤγουν κατὰ τὸν εἰδικὸν τοῦ ἀντικειμένου λόγον, ὥσπερ τὸ ὁρατὸν ἀπὸ τοῦ ἀκουστοῦ. Ἂν δὲ φυλάττηται ὁ αὐτὸς τοῦ ἀντικειμένου λόγος, ὁποιαδήποτε ἄλλη διαφορὰ οὐκ εἰσάγει διαφορὰν τῆς ἐνεργείας κατὰ τὸ εἶδος καὶ τῆς δυνάμεως· τῆς αὐτῆς γὰρ δυνάμεώς ἐστι τὸ βλέπειν ἄνθρωπον κεχρωσμένον καὶ λίθον κεχρωσμένον, διότι αὕτη ἡ διαφορότης κατὰ συμβεβηκὸς ἔχει πρὸς τὸ ἀντικείμενον καθὸ ἀντικείμενον.

Ἰστέον δὲ ὅτι ὁ δυνάμει νοῦς ἡμῶν ἐστὶν ἐν δυνάμει μόνον ἐν τῇ τάξει τῶν νοητῶν· γίνεται δὲ ἐνεργείᾳ τῷ εἴδει τῷ ἐκ τῶν φαντασμάτων ἀφαιρεθέντι· οὐδὲν δὲ γινώσκεται, εἰ μὴ καθὸ ἐστὶν ἐνεργείᾳ. Ὅθεν ὁ δυνάμει νοῦς ἡμῶν γινώσκει ἑαυτὸν δι' εἴδους νοητοῦ, ὡς ἐν τῷ τρίτῳ λέγεται, οὐ μὴν ἐνατενίζων τῇ οὐσίᾳ αὐτοῦ κατ' εὐθεῖαν, καὶ διὰ τοῦτο δεῖ ἐν τῇ γνώσει τῆς ψυχῆς προϊέναι ἀπὸ τῶν ἐξωτερικωτέρων, ἀφ' ὧν

---

8 ὦσι : εἰσί A 21 πρότερον B 38 ἐξωτερικῶν B

Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀφαιροῦνται τὰ εἴδη τὰ νοητά, δι' ὧν ὁ νοῦς νοεῖ ἑαυτόν, ὥστε δηλονότι διὰ τῶν ἀντικειμένων γινώσκειν ἡμᾶς τὰς ἐνεργείας, καὶ διὰ τῶν ἐνεργειῶν τὰς δυνάμεις, καὶ διὰ τῶν δυνάμεων τὴν οὐσίαν τῆς ψυχῆς. Εἰ δὲ κατ' εὐθεῖαν τὴν ἑαυτῆς οὐσίαν ἐγίνωσκεν ἡ ψυχὴ δι' ἑαυτῆς, ἔδει τὴν ἐναντίαν τάξιν φυλάττειν ἐν τῇ θεωρίᾳ τῆς ψυχῆς, διότι ὅσον ἂν εἴη τι προσεχέστερον τῇ οὐσίᾳ τῆς ψυχῆς, τοσοῦτον ἂν γινώσκοιτο καὶ πρότερον παρ' αὐτῆς.

## Leçon VII.

Ὥστε πρότερον περὶ τροφῆς. Διαστειλάμενος ὁ Φιλόσοφος τὰς τῆς ψυχῆς δυνάμεις πρὸς ἀλλήλας καὶ δείξας τί καὶ τίνι τάξει περὶ ἐκείνων πραγματεύσασθαι τέως δεῖ, ἐνταῦθα καθ' ἣν προεσημήνατο τάξιν διορίζεται περὶ τούτων καὶ διαιρεῖται οὕτως· πρῶτον, διορίζεται περὶ τῶν μερῶν τῆς ψυχῆς, τί ἐστιν ἕκαστον· δεύτερον, ἀποδίδωσι τὴν αἰτίαν, δι' ἣν τοιαύτην ἀκολουθίαν ἔχουσι πρὸς ἄλληλα, ἐν τῷ· Τὴν μὲν οὖν
f. 298v φυτικὴν ψυχήν, ἐν τῷ τελευταίῳ τοῦ βιβλίου κεφαλαίῳ. | Περὶ τὸ πρῶτον ποιεῖ τέσσαρα τινά· πρῶτον, διορίζεται περὶ τοῦ φυτικοῦ· δεύτερον, περὶ τοῦ αἰσθητικοῦ, ἐν τῷ· Διωρισμένων δὲ τούτων· τρίτον, περὶ τοῦ νοεροῦ ἐν τῷ· Περὶ δὲ τοῦ μέρους· τέταρτον, περὶ τοῦ κατὰ τόπον κινητικοῦ, ἐν τῷ· Περὶ τοῦ κινοῦντος. Καὶ περὶ τὸ πρῶτον αὖθις δύο ποιεῖ· πρῶτον, τίθησι τινὰ ἀναγκαῖα πρὸς τὴν γνῶσιν τοῦ φυτικοῦ· δεύτερον, διορίζεται περὶ τοῦ φυτικοῦ, ἐν τῷ· Ἐπεὶ δέ. Καὶ περὶ τὸ πρῶτον αὖθις δύο ποιεῖ· πρῶτον, λέγει περὶ τίνος ἐστὶν ὁ σκοπός; δεύτερον, προδιασαφοῖ τινά, ἅτινα δεῖ προζητεῖσθαι πρὸς τὴν γνῶσιν τοῦ φυτικοῦ μορίου ἐν τῷ· Φυσικώτερον γάρ. Περὶ δὲ τοῦ ὀρεκτικοῦ οὐ πραγματεύεται εἰδικῶς, διότι τὸ ὀρεκτικὸν οὐ συνίστησιν εἰδικόν τινα βαθμὸν τῶν ζώντων, καὶ διότι ἅμα μετὰ τοῦ κινητικοῦ περὶ αὐτοῦ διορίζεται. Συμπεραίνει τοίνυν ἐκ τῶν προειρημένων, ὅτι ἐπεὶ δεῖ πρῶτον λέγειν περὶ τῶν ἀντικειμένων καὶ τῶν ἐνεργειῶν, εἶτα περὶ τῶν δυνάμεων καὶ πρότερον περὶ τῶν δυνάμεων τῶν πρώτων ἢ περὶ τῶν ἐφεξῆς, πρῶτον δεῖ λέγειν περὶ τροφῆς, ἥτις ἐστὶν ἀντικείμενον τῆς φυτικῆς ψυχῆς, καὶ περὶ τῆς γενέσεως, ἥτις ἐστὶν ἐνέργεια αὐτῆς. Καὶ πρότερον δεῖ λέγειν περὶ τοῦ ἀντικειμένου καὶ τῆς ἐνεργείας τούτου τοῦ μορίου ἢ τῶν ἄλλων, διότι πρότερον ἐστὶ τῶν ἄλλων τῆς ψυχῆς μορίων ἐν ταῖς οὐσίαις, ἐν αἷς εὑρίσκεται μετὰ τῶν ἄλλων. Ἔστι γὰρ ὡσανεὶ θεμέλιος τῶν ἄλλων, ὡς τὸ φυτικὸν εἶναι, πρὸς ὃ ἀνήκουσιν αἱ ἐνέργειαι τοῦ φυτικοῦ, ἔστι θεμέλιον τοῦ αἰσθητοῦ εἶναι καὶ τοῦ νοητοῦ. Καὶ ἄλλος δὲ λόγος ἐστὶ δι' ὃν πρότερον δεῖ περὶ τούτου λέγειν, ὅτι τοῦτο κοινὸν ἐστὶ πᾶσι τοῖς ζῶσιν·

---

13 *αὐτῶν* après *ἕκαστον* add B 16 *οὖν* avant *ποιεῖ* add B *διορίζεται*: *γὰρ διαλαμβάνει* B 22 *αὖθις*: *πάλιν* B 29 *περὶ* après *ἢ* om B

αὐτὸ γὰρ χωρίζεται τῶν ἄλλων, τὰ δὲ ἄλλα οὐ χωρίζονται αὐτοῦ, καὶ πρότερον δεῖ λέγειν περὶ τῶν κοινῶν. Τοῦ δὲ τοιούτου μορίου ἔργα εἰσὶ τὸ γεννᾶν καὶ τροφῇ χρῆσθαι, καὶ διὰ τοῦτο περὶ τούτων πρῶτον πραγματεύσασθαι δεῖ.

Φυσικώτερον γὰρ τῶν ἔργων. Ἐνταῦθα διορίζεταί τινα, ἅτινα προαπαιτοῦνται πρὸς τὴν γνῶσιν τοῦ φυτικοῦ μέρους. Καὶ πρῶτον φησὶν ὅτι τὸ γεννᾶν ἀνήκει τῷ φυτικῷ μέρει, ὅπερ διὰ τοῦτο γέγονεν ἀναγκαῖον, διότι ἀνωτέρω τούτῳ τῷ μέρει οὐκ ἀπέδωκε τὴν γένεσιν ἀλλὰ μόνον τὴν αὔξησιν καὶ τὴν φθίσιν· δεύτερον, δείκνυσιν ὅτι τὰ ἔργα τῆς φυτικῆς δυνάμεως εἰσὶν ἀπὸ τῆς ψυχῆς, ὅπερ διὰ τοῦτο ἀναγκαῖον γέγονεν, διότι, ἐπεὶ τούτοις τοῖς ἔργοις δουλεύουσιν αἱ ἐνεργητικαὶ καὶ παθητικαὶ ποιότητες, ἠδύνατο δοκεῖν τινὶ ὅτι εἰσὶν ἐκ τῆς φύσεως καὶ οὐ παρὰ τῆς ψυχῆς, καὶ μάλιστα διότι ἐν τοῖς φυτοῖς ἐστὶν ἡ ζωὴ κεκρυμμένη καὶ λανθάνουσα· καὶ τοῦτο τὸ μέρος ἐστὶν ἐν τῷ· Ἔστι δὲ ἡ ψυχὴ τοῦ ζῶντος σώματος. Τὸ πρῶτον δείκνυσι λόγῳ τοιῷδε. Πᾶσα ἐνέργεια, ἥτις φυσικῶς εὑρίσκεται ἐν πᾶσι τοῖς ζῶσιν, ἀνήκει πρὸς τὴν δύναμιν τὴν φυτικήν, καθ' ἣν πρώτως τὸ ζῆν ἔνεστι πᾶσιν, ὡς εἴρηται. Ἀλλὰ τὸ γεννᾶν φυσικῶς ἐνυπάρχει πᾶσι τοῖς ζῶσιν. Ἀνήκει ἄρα πρὸς τὴν φυτικὴν δύναμιν. Φησὶ τοίνυν, ὅτι διὰ τοῦτο τὸ γεννᾶν ἐστὶν ἔργον τῆς φυτικῆς ψυχῆς, διότι τῶν ἄλλων ἔργων ἐστὶ πλέον φυσικὸν πᾶσι τοῖς ζῶσι· καὶ φησὶ φυσικώτερον, διότι ἐν τούτῳ συμβαίνει πᾶσι τοῖς ἄλλοις ἀψύχοις πράγμασι τοῖς ἔχουσι γένεσιν, εἰ καὶ ἄλλῳ τρόπῳ· ἔχουσι γὰρ τὰ ἄψυχα γένεσιν ἀπὸ ἐξωτέρου γεννῶντος, ἀλλὰ τὰ ζῶντα ἀπὸ ἐνδοτέρας ἀρχῆς, καθόσον γεννῶνται ἐκ σπέρματος, ὅπερ προκόπτει καὶ ἐπιδίδωσιν εἰς πρᾶγμα ζῶν. Ἀλλ' ἀπὸ ταύτης τῆς γεννηκότητος τῶν ζώντων ἐξαιροῦνται τρία, οἷς τοῦτο τὸ ἔργον οὐχ ἁρμόζει· πρῶτον, τὰ ἀτελῆ, ὥσπερ οἱ παῖδες οὐ γεννῶσιν· ὃ γὰρ δύναται τοιοῦτον ἄλλο ποιεῖν οἷον αὐτὸ ἐστίν, ἐν ἑκάστῳ γένει τέλειον ἐστίν· δεύτερον, τὰ πεπονθότα ἔνδειαν τινὰ φυσικῆς τινὸς ἀρχῆς, ὥσπερ οἱ σπάδωνες καὶ οἱ ψυχροί· τρίτον, τὰ ζῷα καὶ τὰ φυτὰ ἃ γεννῶνται χωρὶς σπέρματος ἐκ σήψεως· ἐν τούτοις γὰρ διὰ τὸ ἀτελὲς αὐτῶν ἀρκεῖ πρὸς τὴν προαγωγὴν αὐτῶν τὸ καθόλου ποιοῦν, δηλονότι ἡ δύναμις τοῦ οὐρανίου σώματος καὶ ἡ ὕλη ἡ διατεθεῖσα· ἐν δὲ τοῖς τελείοις ζῴοις πλείους ζητοῦνται ἀρχαί· οὐ γὰρ ἀρκεῖ τὸ καθόλου ποιοῦν ἀλλὰ ζητεῖται ποιοῦν ἴδιον συνώνυμον. Φησὶ τοίνυν, ὅτι τὰ ζῶντα δύνανται ποιεῖν ἕκαστον ἕτερον ὁποῖον ἐστὶν αὐτό, ὅσα εἰσὶ κυρίως τέλεια πρὸς διαστολὴν τῶν παίδων, καὶ μὴ πηρώματα, πρὸς διαστολὴν τῶν εὐνούχων καὶ τῶν ἐχόντων ὁμοίας ἐνδείας· ἢ τὴν γένεσιν αὐτομάτην ἔχει, πρὸς διαστολὴν τῶν ἀπὸ σήψεως γινομένων, ἃ λέγονται ὡσανεὶ αὐτομάτως γίνεσθαι, διότι παράγονται ἐκ γῆς χωρὶς σπέρματος. Οὕτω δὲ νοεῖται ὅτι τὸ ζῶν πρᾶγμα ποιεῖ ἄλλο ὁποῖον ἐστὶν αὐτό, ὅτι τὸ ζῷον ποιεῖ ζῷον,

καὶ τὸ φυτὸν ποιεῖ φυτόν· καὶ ἔτι κατὰ τὸ εἶδος τὸ τοιοῦτον ζῷον τοιόνδε ζῷον ποιεῖ, f. 299 | οἷον ὁ ἄνθρωπος γεννᾷ ἄνθρωπον, καὶ ἡ ἐλαία γεννᾷ ἐλαίαν. Διὰ τοῦτο δέ ἐστι τοῖς ζῶσι τὸ ποιεῖν ἕκαστον ἕτερον οἷον αὐτό, ἵνα ἀεὶ μετέχωσι, καθόσον δύνανται, τοῦ θείου καὶ ἀθανάτου, τουτέστιν ἵνα ἀφομοιῶνται αὐτῷ κατὰ δύναμιν. Δεῖ δὲ θεωρεῖν ὅτι, ὥσπερ εἰσὶ διάφοροι βαθμοὶ τελειότητος ἔν τινι ἑνὶ καὶ τῷ αὐτῷ, ὅπερ πρόεισιν ἐκ δυνάμεως εἰς ἐνέργειαν, οὕτως εἰσὶ καὶ διάφοροι βαθμοὶ τελειότητος ἐν τοῖς διαφόροις οὖσιν· ὅθεν ὅσῳ τί ἐστι μᾶλλον τέλειον, τοσούτῳ τοῖς τελειοτέροις μᾶλλον ἀφομοιοῦται. Ὥσπερ τοίνυν ἕκαστον ἐν τῷ προϊέναι ἐκ δυνάμεως εἰς ἐνέργειαν, ἕως ἂν ᾖ ἐν δυνάμει, τάττεται πρὸς τὴν ἐνέργειαν καὶ ἐφίεται αὐτοῦ φυσικῶς, καὶ ὅταν γένηται ἐν τῇ ἐνεργείᾳ τῇ ἧττον τελείᾳ ἐφίεται ἐνεργείας τελειοτέρας, οὕτως ἕκαστον ἐν χθαμαλωτέρῳ βαθμῷ τῶν ὄντων τυγχάνον ἐπιθυμεῖ ἀφομοιοῦσθαι τοῖς ὑψηλοτέροις, ὅσον δύναται· καὶ τοῦτ' ἔστιν ὅπερ ἐπάγει, ὅτι πάντα ἐφίεται ὁμοιοῦσθαι τῷ θείῳ καὶ ἀθανάτῳ, καὶ τούτου χάριν πράττουσιν ὅσα πράττουσι φυσικῶς. Ἀλλὰ δεῖ νοεῖν, ὅτι τὸ οὗ ἕνεκα πράττεται, λέγεται διχῶς· ἕνα μὲν τρόπον, τὸ οὗ ἕνεκά τι πράττεται κατ' εὐθεῖαν, ὥσπερ τῆς ὑγείας ἕνεκα πράττει ὁ ἰατρός· ἄλλον δὲ τρόπον, ὡς τὸ ᾧ· ὃ δύναται νοεῖσθαι διχῶς· ἕνα μὲν τρόπον, ἵνα νοῆται τέλος καὶ τὸ ὑποκείμενον, τὸ ἔχον ἐκεῖνο οὗ χάριν πράττεται, ὡς ἐὰν λέγωμεν τέλος εἶναι τῆς ἰατρείας μὴ μόνον τὴν ὑγείαν, ἀλλὰ καὶ τὸ σῶμα τὸ ἔχον τὴν ὑγείαν· ἄλλον δὲ τρόπον, ἵνα νοῆται τέλος μὴ μόνον ἀρχοειδὴς σκοπός, ἀλλὰ καὶ τὸ δι' οὗ τυγχάνομεν τοῦ σκοποῦ, ὡς ἐὰν λέγωμεν τέλος τῆς ἰατρείας εἶναι τὸ θερμαίνειν τὸ σῶμα, διότι τῇ θέρμῃ περιγίνεται ἡ ἰσότης τῆς συμπλοκῆς, ἥτις ἐστὶν ὑγεία. Οὕτω τοίνυν κἀνταῦθα δυνατὸν λέγεσθαι, ὅτι αὐτὸ τὸ εἶναι διηνεκὲς ἐστὶν οὗ χάριν πράττεται ἢ τὸ ἔχον τὴν διηνέκειαν, ᾧτινι τὰ φυσικὰ ἐξομοιοῦσθαι σκοποῦσι διὰ γενέσεως, ἐν ᾧ δηλονότι ἐστὶν ἡ διηνέκεια· ἢ καὶ αὐτὴ ἡ γένεσις, δι' ἧς τυγχάνομεν τοῦ διηνεκῶς εἶναι. Διότι τοίνυν οὐ δύνανται τὰ χθαμαλώτερα τῶν ζώντων κοινωνεῖν τοῦ ἀϊδίου καὶ θείου εἶναι κατὰ τὸν τρόπον τῆς συνεχείας, ὥστε διαμένειν αὐτὰ τῷ ἀριθμῷ ταὐτὰ διὰ τὸ μηδὲν τῶν φθαρτῶν ἐνδέχεσθαι ταὐτὸν καὶ ἓν ἀριθμῷ διαμένειν ἀεί, ἐπεὶ ἡ ἀνάγκη τῆς φθορᾶς ἐστὶν ἀνάγκη ἀπολελυμένη, ὡς προϊοῦσα ἐξ αὐτῆς τῆς φύσεως, οὐκ ἐκ τοῦ τέλους ἕπεται ἕκαστον μετέχειν τῆς ἀϊδιότητος, καθὰ δύναται, τὸ μὲν μᾶλλον, ὅπερ ἐστὶ μονιμώτερον καὶ διαρκέστερον, τὸ δὲ ἧττον, ὅπερ ἐστὶν ἧττον διαρκές· καὶ διαμένει οὕτω διὰ γενέσεως οὐ τὸ αὐτὸ ἁπλῶς, ἀλλ' ὥσπερ ταὐτόν, τουτέστιν ἐν τῇ κατ' εἶδος ὁμοιότητι. Ὅθεν ἐξηγούμενος τοῦτο, φησὶν ὅτι οὐ διαμένει ἓν ἀριθμῷ, ὅπερ ἐστὶ τὸ ἁπλῶς ἓν καὶ ταὐτὸν εἶναι ἀεί, ἀλλὰ

---

3 *ποιεῖν* : *γεννᾶν* B 14 *ἀφομοιοῦσθαι* B 25 *ὅτι* om B

Ε.Υ.Δ της Φ.Τ.Φ. ΙΩΑΝΝΙΝΑ 2006

διαμένει τὸ αὐτὸ τῷ εἴδει διὰ τὸ ἕκαστον γεννᾶν ὅμοιον ἑαυτῷ κατὰ τὸ εἶδος.

Ἔστι δὲ ἡ ψυχή. Ἐνταῦθα δείκνυσιν, ὅτι τὰ ἔργα τὰ ἀποδιδόμενα τῇ φυτικῇ δυνάμει εἰσὶ παρὰ τῆς ψυχῆς, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, δείκνυσι τὴν ἀλήθειαν· δεύτερον, ἀποκλείει τινὰ πλάνην ἐν τῷ· Ἐμπεδοκλῆς δὲ οὐ καλῶς. Καὶ περὶ τὸ πρῶτον πάλιν δύο ποιεῖ· πρῶτον, τίθησι τὸν αὐτοῦ σκοπόν· δεύτερον, ἀποδείκνυσιν ὅπερ ὑπέθετο ἐν τῷ· Ὅτι μὲν οὖν ὡς οὐσία. Πρῶτον τοίνυν τίθησι τὸν σκοπὸν αὐτοῦ, καὶ φησὶν ὅτι ἡ ψυχή ἐστιν ἀρχὴ καὶ αἰτία τοῦ ζῶντος σώματος. Καὶ ἐπεὶ ἡ ἀρχὴ καὶ αἰτία λέγεται πολλαχῶς, ἡ ψυχὴ λέγεται τρισὶ τρόποις ἀρχὴ καὶ αἰτία τοῦ ζῶντος σώματος· ἕνα μὲν τρόπον, ὡς τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως· ἄλλον δέ, ὡς τὸ οὗ ἕνεκα ἤγουν τὸ τέλος· τρίτον δὲ τρόπον, ὡς ἡ οὐσία, τουτέστιν εἶδος τῶν ἐμψύχων σωμάτων. Ταῦτα εἰπὼν ἐπάγει, ὅτι μὲν οὖν ὡς οὐσία, ὅπου δείκνυσιν ὅπερ ὑπέθετο, καὶ ποιεῖ περὶ τοῦτο τρία· πρῶτον, δείκνυσιν ὅτι ἡ ψυχή ἐστιν αἰτία τοῦ ζῶντος σώματος ὡς εἶδος· δεύτερον, δείκνυσιν ὅτι ὡς τὸ οὗ ἕνεκα, ἐν τῷ· Φανερὸν δέ· τρίτον, ὅτι καὶ ὡς τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, ἐν τῷ· Ἀλλὰ μὴν καὶ ὅθεν. Ὅτι τοίνυν ἡ ψυχὴ ἐστὶν αἰτία ὡς εἶδος τοῦ ζῶντος σώματος, δείκνυσι διπλῷ λόγῳ, ὧν ὁ πρῶτος τοιοῦτός ἐστι. Τοῦτο ἐστὶν αἰτία τινὸς ὡς οὐσία καὶ εἶδος, ὅπερ ἐστὶν αἰτία τοῦ εἶναι· ἀλλ' ἡ ψυχὴ τοῖς ζῶσιν ἐστὶν αἰτία τοῦ εἶναι· τῇ ψυχῇ γὰρ ζῶσι καὶ αὐτὸ τὸ ζῆν ἐστι τὸ εἶναι αὐτῶν· ἡ ψυχὴ ἄρα ἐστὶν αἰτία τοῦ ζῶντος σώματος ὡς εἶδος.

Ἔτι τοῦ. Ὁ δεύτερος λόγος οὗτος ἐστίν, οὕτως ἔχων. Ὅπερ ἐστὶν ἐντελέχεια τινός, ἔστιν ὁ λόγος καὶ τὸ εἶδος τοῦ δυνάμει ὄντος· ἀλλ' ἡ ψυχὴ ἐστὶν ἐντελέχεια τοῦ ζῶντος σώματος, ὡς ἐκ τῶν προειρημένων φανερόν· ἡ ψυχὴ ἄρα ἐστὶ λόγος καὶ εἶδος τοῦ ζῶντος σώματος.

Φανερὸν δέ. Ἐνταῦθα, δεύτερον, δείκνυσιν ὅτι ἡ ψυχὴ ἐστὶν | αἰτία καὶ ὡς τέλος τῶν ζώντων σωμάτων οὕτως. Ὥσπερ γὰρ ὁ νοῦς f. 299v ποιεῖ διὰ τῆς τέχνης, οὕτω καὶ ἡ φύσις, ὡς δείκνυται ἐν τῷ δευτέρῳ τῶν φυσικῶν. Ἀλλ' ὁ νοῦς ἐν τοῖς τέχνῃ γινομένοις τὴν ὕλην τάττει καὶ διατίθησι διὰ τὸ εἶδος· καὶ ἡ φύσις ἄρα. Ἐπεὶ τοίνυν ἡ ψυχὴ εἶδος ἐστὶ τοῦ ζῶντος σώματος, ἕπεται αὐτὴν εἶναι καὶ τέλος αὐτοῦ. Καὶ ἔτι οὐ μόνον ἐστὶ τέλος τῶν ζώντων σωμάτων, ἀλλὰ καὶ πάντων τῶν φυσικῶν σωμάτων ἐν τοῖς ὑποκάτω τούτοις, ὅπερ οὕτως ἀποδείκνυσιν. Ὁρῶμεν γὰρ ὅτι πάντα τὰ φυσικὰ σώματα εἰσὶν ὡς ὄργανα τῆς ψυχῆς οὐκ ἐν τοῖς

---

2 **En marge de la main de Scholarios:** *Λείπει ἐκ τοῦ λατινικοῦ κείμενον τό: Διόπερ τὸ σπέρμα τῶν ζῴων καὶ τῶν φυτῶν ὄργανον ἐστὶ τῆς ψυχῆς, καὶ λείπει καὶ ἡ τούτου ἐξήγησις* AB 28 *δεύτερον* om B 29 *καὶ* om B

ζῴοις μόνον, ἀλλὰ καὶ τοῖς φυτοῖς· ὁρῶμεν γὰρ ὅτι οἱ ἄνθρωποι χρῶνται πρὸς τὴν ἑαυτῶν ὠφέλειαν τοῖς ζῴοις καὶ τοῖς φυτοῖς καὶ τοῖς ἀψύχοις πράγμασι· τὰ δὲ ζῷα, τοῖς φυτοῖς καὶ τοῖς ἀψύχοις· τὰ δὲ φυτά, τοῖς ἀψύχοις, ἐφόσον δηλονότι τὴν τροφὴν καὶ τὴν βοήθειαν λαμβάνουσι παρ' αὐτῶν. Καθὰ δὲ πράττεται ἕκαστον ἐν τῇ τῶν πραγμάτων φύσει, οὕτω καὶ πέφυκε πράττεσθαι. Ὅθεν δοκεῖ πάντα τὰ ἄψυχα σώματα ὄργανα τῶν ἐμψύχων εἶναι καὶ εἶναι δι' αὐτά, καὶ τῶν ἐμψύχων τὰ ἀτελέστερα διὰ τελεώτερα εἶναι τῶν ἐμψύχων. Ταῦτα εἰπὼν ἐφεξῆς διακρίνει καὶ τὸ οὗ ἕνεκα, ὡς καὶ ἀνωτέρω διεῖλεν.

Ἀλλὰ μὴν. Ἐνταῦθα, τρίτον, δείκνυσιν ὅτι ἡ ψυχὴ ἐστὶν ἀρχὴ τοῦ ζῶντος σώματος, ὡς τὸ ὅθεν ἡ κίνησις, καὶ χρῆται ὡσανεὶ τοιούτῳ λόγῳ. Ἅπαν φυσικὸν εἶδος τοῦ σώματος ἐστὶν ἀρχὴ τῆς ἰδίας κινήσεως ἐκείνου τοῦ σώματος, ὥσπερ τὸ τοῦ πυρὸς εἶδος ἀρχή ἐστι τῆς ἐκείνου κινήσεως. Ἀλλὰ τινὲς κινήσεις εἰσὶν ἴδιαι τῶν ζώντων πραγμάτων, δηλονότι ἡ τοπικὴ κίνησις, ᾗ τὰ ζῷα κινοῦσιν ἑαυτὰ κινήσει προχωρητικῇ κατὰ τόπον. Ἀλλὰ τοῦτο οὐκ ἐνυπάρχει πᾶσι τοῖς ζῴοις· ὁμοίως καὶ τὸ αἰσθάνεσθαί ἐστιν ἀλλοίωσίς τις, καὶ τοῦτο οὐκ ἔνεστιν εἰ μὴ τοῖς ἔχουσι ψυχήν. Πάλιν ἡ κίνησις τῆς αὐξήσεως καὶ φθίσεως οὐκ ἔνεστιν εἰ μὴ τοῖς αὔξουσι καὶ τρεφομένοις, καὶ οὐδὲν τρέφεται εἰ μὴ τὸ ἔχον ψυχήν. Δεῖ τοίνυν τὴν ψυχὴν ἁπασῶν εἶναι ἀρχὴν τούτων τῶν κινήσεων.

## Leçon VIII.

Ἐμπεδοκλῆς δὲ οὐ καλῶς. Δείξας ὁ Φιλόσοφος ὅτι τὰ ἔργα τὰ ἀποδιδομένα τῇ φυτικῇ δυνάμει εἰσὶ παρὰ τῆς ψυχῆς, νῦν ἀποκλείει τινὰς αἱρέσεις πεπλανημένας περὶ τὴν διορισθεῖσαν ἀλήθειαν. Καὶ διαιρεῖται εἰς δύο μέρη κατὰ τὰς πλάνας, ἃς ἀπείργει· καὶ ἔστι τὸ δεύτερον μέρος ἐν τῷ· Δοκεῖ δέ τισιν ἡ τοῦ πυρὸς φύσις. Περὶ δὲ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, τίθησι τὴν πλάνην· δεύτερον, ἀναιρεῖ αὐτήν, ἐν τῷ· Οὔτε γάρ. Δεῖ τοίνυν εἰδέναι, ὅτι ὁ Ἐμπεδοκλῆς τὰς ἐν τοῖς ζῶσι πράγμασι προϊούσας ὠφελείας οὐκ εἶπε προϊέναι ἐκ τοῦ σκοποῦ τῆς φύσεως ἀλλ' ἐκ τῆς ἀνάγκης τῆς φύσεως, οἷον τοὺς πόδας φέρε εἰπεῖν τῶν ζῴων οὕτω διατεθεῖσθαι οὐχ ἵνα ὦσιν ὠφέλιμοι πρὸς τὴν πορείαν, ἀλλὰ διότι συνέβη τὴν ὕλην οὕτω διατεθῆναι περὶ ταῦτα τὰ μέρη· οὕτω καὶ τὴν αὔξησιν τῶν ζώντων οὐκ ἀπέδωκε τῇ ψυχῇ ἀλλὰ τῇ κινήσει τῶν βαρέων καὶ τῶν κούφων. Ἔβλεπε γὰρ ὅτι τὰ ζῶντα αὔξουσιν ἐπὶ διάφορα μέρη, οἷον ἄνω καὶ κάτω, ὃ φαίνεται ἐν τοῖς φυτοῖς ἐναργῶς, ὧν αἱ μὲν ῥίζαι κάτω πέμπονται, οἱ δὲ κλάδοι ἄνω μετεωρίζονται. Ἔλεγε τοίνυν, ὅτι ἡ ἐπὶ τὸ κάτω αὔξησις τῶν φυτῶν γίνεται ἐκ τῆς κινήσεως τῆς γῆς

12 ζῶντος avant σώματος add B 17-18 τοῖς ἐμψύχοις B

Ε.Υ.Δ της Ι.Τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

τῆς οὔσης ἐν τῇ συνθέσει τοῦ φυτοῦ καὶ φυσικῶς κατω φερομένης διὰ τὸ βάρος αὐτῆς, ἡ δὲ ἐπὶ τὸ ἄνω αὔξησις γίνεται ἐκ τῆς κινήσεως τοῦ πυρός, ὃ διὰ τὴν αὐτοῦ κουφότητα φύσει φέρεται ἄνω.

Οὔτε γάρ. Ἐνταῦθα ἀποδοκιμάζει τὴν προειρημένην δόξαν διχῶς· πρῶτον μὲν διὰ τοῦ μὴ καλῶς λαβεῖν τὸ ἄνω καὶ κάτω· δεύτερον, ἄλλον τρόπον, ἐν τῷ· Πρὸς δὲ τούτοις τί τὸ συνέχον· οὗ δὴ πρὸς σαφήνειαν εἰδέναι δεῖ, ὅτι τὸ ἄνω καὶ κάτω καὶ αἱ λοιπαὶ τῶν θέσεων διαφοραί, δηλονότι τὸ ἔμπροσθεν καὶ ὄπισθεν καὶ δεξιὸν καὶ ἀριστερόν, ἔν τισι μὲν διακρίνονται κατὰ φύσιν, ἔν τισι δὲ μόνον θέσει ὡς πρὸς ἡμᾶς. Ἐν οἷς μὲν γὰρ εἰσὶ διωρισμένα τὰ μέρη, ἃ φυσικῶς εἰσὶν ἀρχαὶ ἢ ὅροι τινῶν κινήσεων, ἐν τούτοις διακρίνονται αἱ προειρημέναι τῶν θέσεων διαφοραὶ κατὰ φύσιν, ὡς φαίνεται ἐπὶ τοῦ παντός, οὗ πρὸς τὸ μέσον φύσει φέρονται τὰ βαρέα, πρὸς δὲ τὴν περιφέρειαν φύσει φέρονται τὰ κοῦφα. Καὶ ἄνω μέν ἐστιν αὐτοῦ, πρὸς ὃ φέρονται τὰ κοῦφα, κάτω δὲ εἴτουν μέσον, πρὸς ὃ φέρονται τὰ βαρέα. Ἐν δὲ τοῖς θνητοῖς ζῶσι κατὰ τὴν κίνησιν τῆς αὐξήσεως καὶ τῆς τροφῆς διορίζονται τὸ ἄνω καὶ τὸ κάτω· ἄνω γὰρ λέγεται ἐκεῖνο τὸ μέρος, ὅθεν τὴν τροφὴν τὰ ζῷα λαμβάνουσι, κάτω δὲ τὸ ἀντικείμενον μέρος, δι' οὗ τὰ περιττώματα ἐκβάλλονται· τὸ δὲ ἔμπροσθεν καὶ ὄπισθεν διορίζονται ἔν τισι ζῶσι κατὰ | τὴν αἴσ- f. 300
θησιν· τὸ δὲ δεξιὸν καὶ ἀριστερόν, κατὰ τὴν τοπικὴν κίνησιν. Ἐν οἷς δὲ οὐδὲν μέρος διωρισμένον ἐστὶν ἀρχὴ ἢ πέρας τινὸς κινήσεως, ἐν τούτοις οὐ διορίζονται αἱ τῶν θέσεων διαφοραὶ κατὰ φύσιν, ἀλλὰ μόνον θέσει ὡς πρὸς ἡμᾶς, ὡς ἐν τοῖς ἀψύχοις πράγμασιν. Ὅθεν ὁ αὐτὸς κίων λέγεται δεξιὸς καὶ ἀριστερός, καθὸ ἐστι δεξιὰ τοῦ ἀνθρώπου ἢ ἀριστερά· ἔν τισι δὲ τῶν ζώντων, ἐν οἷς διορίζονται κατὰ φύσιν τὸ ἄνω καὶ τὸ κάτω, τῷ αὐτῷ τρόπῳ διορίζονται ὥσπερ καὶ ἐν τῷ παντί, οἷον ἐν τῷ ἀνθρώπῳ· τούτου γὰρ τὸ ἄνω μέρος, δηλονότι ἡ κεφαλή, ἔστι κατὰ τὸ ἄνω τοῦ παντός, τὸ δὲ κάτω πρὸς τὸ κάτω αὐτοῦ. Ἐν δὲ τοῖς φυτοῖς ἐστὶ τὸ ἀνάπαλιν· αἱ γὰρ ῥίζαι τῶν φυτῶν ἀναλόγως ἔχουσι τῇ κεφαλῇ· πρὸς γὰρ τὴν αὐτὴν ἐνέργειαν τάττονται· ὡς γὰρ τὰ ζῷα τὴν τροφὴν λαμβάνουσι τῷ στόματι, ὅπερ ἐστὶν ἐν τῇ κεφαλῇ, οὕτω τὰ φυτὰ ταῖς ῥίζαις. Τὰ δὲ ὄργανα λέγονται ἕτερα καὶ ταῦτα, εἴτουν ὅμοια καὶ ἀνόμοια, ἐκ τῶν ἔργων ἅ εἰσι τέλη αὐτῶν· ὅθεν αἱ τῶν φυτῶν ῥίζαι εἰσὶν ὅμοιαι ταῖς τῶν ζῴων κεφαλαῖς, καὶ ὅμως εἰσὶ πρὸς τὸ κάτω. Ὅθεν ἐναντίως ἔχουσι τὸ ἄνω καὶ κάτω ἐν τοῖς φυτοῖς καὶ ἐν τῷ παντί. Ἐν δὲ τοῖς ζῴοις μέσως ἔχουσι, διότι αἱ κεφαλαὶ αὐτῶν οὐκ εἰσὶ πρὸς τὸ ἄνω τοῦ παντὸς οὐδὲ πρὸς τὸ κάτω αὐτοῦ. Τοῦτο τοίνυν ἐστὶν ὃ λέγει· Τὸ ἄνω καὶ κάτω οὐκ ἔστι τὸ αὐτὸ πᾶσι, δηλονότι τοῖς ζῶσι

---

28 *ἄνω* : *εἶναι* B    35 *τὸ κάτω* B

Ε.Υ.Δ της ΚΕ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ τῷ παντί. Ἀλλ' ὁ Ἐμπεδοκλῆς οὕτω λαμβάνει τὸ ἄνω καὶ κάτω ὥσπερ εἰ τῷ αὐτῷ τρόπῳ ἦν ἔν τε πᾶσι τοῖς ζῶσι κἀν τῷ παντί. Εἰ γὰρ ἡ κίνησις τῆς αὐξήσεως, καθ' ἣν διορίζεται τὸ ἄνω καὶ κάτω ἐν τοῖς ζῶσιν, κατὰ τὸν τρόπον εἴη τῶν βαρέων καὶ κούφων, καθ' ὃν διορίζεται τὸ ἄνω καὶ τὸ κάτω ἐν τῷ παντί, ἀκολουθήσειεν ἂν τὸν αὐτὸν τρόπον εἶναι τὸ ἄνω καὶ τὸ κάτω ἐν πᾶσι τοῖς ζῶσι καὶ ἐν τῷ παντί. Καὶ διὰ τοῦτο καὶ αὐτὸς ἐν τοῖς φυτοῖς τὴν αὔξησιν τῶν ῥιζῶν λέγει εἶναι κάτω.

Πρὸς δὲ τούτοις. Ἐνταῦθα ἀποδοκιμάζει τὴν προειρημένην θέσιν ἄλλῳ τρόπῳ· οὐ πρὸς σαφήνειαν εἰδέναι δεῖ, ὅτι διὰ τὸ τὰ στοιχεῖα μὴ εἶναι ἐνεργείᾳ ἐν τῷ συνθέτῳ ἀλλὰ δυνάμει, οὐκ ἔχει ἐν αὐτῷ ἕκαστον τῶν στοιχείων κεχωρισμένως τὴν ἰδίαν κίνησιν, ἀλλ' ὅλον τὸ σύνθετον ἢ μικτὸν κινεῖται τῇ κινήσει τοῦ ἐπικρατοῦντος ἐν αὐτῷ στοιχείου. Εἰ δὲ ἕκαστον τῶν στοιχείων ἔχει κίνησιν ἰδίαν ἐν τῷ μικτῷ, ὡς Ἐμπεδοκλῆς τιθέναι ἐδόκει, ἐπεὶ αἱ φυσικαὶ τῶν στοιχείων κινήσεις εἰσὶν εἰς τοὺς ἐναντίους τόπους, εἵπετο ἂν ὁλοκλήρως χωρίζεσθαι ἀλλήλων, εἰ μὴ ἦν τι τὸ συνέχον τὰ στοιχεῖα καὶ μὴ ἐῶν διασπᾶσθαι τελείως. Τοῦτο δὲ τὸ συνέχον καὶ μὴ ἐῶν διασπᾶσθαι μάλιστα δοκεῖ εἶναι αἰτία τῆς αὐξήσεως καὶ τῆς τροφῆς, εἴπερ ἡ αὔξησις κατὰ διάφορα μέρη συμβαίνει ἐκ τῶν διαφόρων κινήσεων τῶν στοιχείων· οὐ γὰρ δυνατὸν ἂν ἦν φαντασθῆναι πῶς γένοιτ' ἂν αὔξησις τῶν στοιχείων πεφυκότων εἰς τἀναντία κινεῖσθαι, εἰ μὴ διὰ τοῦ μένειν συνημμένα πρὸς ἄλληλα. Εἰ γὰρ παντελῶς χωρισθεῖεν, διαίρεσις ἂν εἴη, οὐκ αὔξησις· τοῦτο δὲ προηγουμένως ἐστὶν αἰτία τῆς αὐξήσεως, τὸ συνέχον τὰ στοιχεῖα, ἵνα μὴ παντάπασιν ἀλλήλων διασπασθῇ. Τοῦτο δέ ἐστιν ἡ ψυχὴ ἐν τοῖς ζῶσι πράγμασιν. Ἡ ψυχὴ ἄρα ἐστὶν ἀρχὴ τῆς αὐξήσεως.

Δοκεῖ δέ τισιν. Ἐνταῦθα τίθησι τὴν ἄλλην θέσιν, καὶ διαιρεῖται εἰς δύο· πρῶτον μὲν γὰρ τίθησιν αὐτήν· δεύτερον, ἀποδοκιμάζει, ἐν τῷ· Τὸ δὲ συναίτιον.

Ἰστέον δὲ ὅτι αὕτη ἡ δόξα διαφέρει τῆς πρώτης, καθὸ ἡ μὲν πρώτη ἀπεδίδου τὴν αἰτίαν τῆς αὐξήσεως καὶ τροφῆς διαφόροις στοιχείοις, δηλονότι τῷ πυρὶ καὶ τῇ γῇ· αὕτη δὲ ἀπέδωκε τὴν αἰτίαν αὐτῶν τῷ πυρὶ μόνον. Καὶ ἐκινήθησαν πρὸς ταύτην τὴν δόξαν ἐκ τούτου τοῦ λόγου. Ἐκεῖνο γὰρ δοκεῖ εἶναι ἀρχὴ τινὸς πάθους καὶ κινήσεως ἔν τινι, ὅπερ καθαυτὸ ἔχει τὸ πάθος ἐκεῖνο ἢ τὴν κίνησιν, ὥσπερ τὸ πῦρ καθαυτὸ θερμὸν ὂν αἰτία γίνεται θέρμης ἐν τοῖς μικτοῖς πράγμασι· καὶ ἡ γῆ, καθ' αὑτὴν οὖσα βαρεῖα, ἐστὶν αἰτία βαρύτητος ἐν αὐτοῖς· ἐν δὲ τοῖς στοιχείοις μόνον τὸ πῦρ δοκεῖ τρέφεσθαι καὶ αὔξειν, εἰ ἐπιπολαίως περὶ τῆς τροφῆς καὶ αὐξήσεως διαλεγοίμεθα. Μόνον τοίνυν δοκεῖ τὸ πῦρ εἶναι

---

**26** *καὶ τοῦ* après *τισὶν* add B **36** *βάρους* B

Ε.Υ.Δ της Κ.Ι ΙΩΑΝΝΙΝΑ 2006